A

ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΚΑΙ ΩΔΗ κώλων ιη´.

Χο. Ω μέγα χρύσεον ἀστεροπῆς φάος.
Ω Διὸς ἄμβροτον ἔγχος πυρφόρον.
Βαρυαχέες ὀμβροφόροιδ᾽ ἅμα
Βρονταὶ, αἷς ὅδε νῦν χθόνα σείει,
Διὰ σὲ πάντα κρατήσας, καὶ
Πάρεδρον βασιλείαν ἔχει Διός.
Ημι. Υμὴν ὦ, ὑμέναι᾽ ὦ.
Επέσθε νῦν γάμοισιν ὦ
Φῦλα πάντα συννόμων
Πτεροφόρ᾽ ἐπὶ πέδον Διός.
Καὶ λέχος γαμήλιον.
Ορεξον ὦ μάκαιρα σὴν
Χεῖρα, καὶ πτερῶν ἐμῶν
Λαβοῦσα, συγχόρευσον.
Αἴρων δ᾽ κουφιῶ σ᾽ ἐγώ
Αλαλαὶ, ἰὴ παιών
Τήνελλα καλλίνικος ὦ
Δαιμόνων ὑπέρτατε.

VERSIO ALTERA ET CANTVS membrorum decem & octo.

*CH. O Magnum aureum fulguris lumen,*
*O Iouis immortalis ensis ignifer,*
*Grauisonantia imbriferaq; simul*
*Tonitrua, quibus hic nunc terram concutit,*
B *Propter te omnibus dominans, &*
*Consessilem reginam habere Iouis.*
*SE. Hymenae ô hymenae, ô*
*Sequimini nunc nuptias, ô*
*Tribus omnes simul pascentium*
*Alatæ in pauimentum Iouis,*
*Et lectum nuptialem.*
*Præbe ô beata tuam*
*Manum, & alas meas*
C *Capiens, simul salta:*
*Eleuans autem leuem faciam te ego.*
*Sed euge euge pæon,*
*Euge pulcher in victoria ô*
*Felix supreme.*

Σχόλια. Ω μέγα χρύσεον.] εἴσθεσις ἑτέρα μέλους χοροῦ εἰς δύο διῃρημένη περιόδους κώλων ιη´. ὧν τῆς πρώτης περιόδου ἀναπαιστικὰ ς´. πλὴν τοῦ γ´ καὶ τελευταίου ἀκαταλήκτων. τῆς δευτέρας κῶλα ιβ´ τὸ α´ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὰ β ς θ ια´ ἰαμβικὰ καταληκτικὰ δίμετρα. τὰ γ δ ε´ ζ ι ιβ τροχαϊκὰ ἑφθημιμερῆ. τὸ η´ ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα περατοῖ.

BISETVS. Αμβρότον ἔγχος] ἄμβροτος, ἄφθαρτος, θεῖος, ἀθάνατος.

Σχόλια. Αἷς ὅδε νῦν χθόνα σείει] ὁ Ζεὺς δηλονότι ἢ ὁ Πεισθέταιρος λαβὼν τὴν βασιλείαν.

BISETVS. Πάρεδρον βασιλείαν] πάρεδρος, ἀρχή τις πολιτείας. Πολυδεύκης, Παρέδρους δ᾽ ὀνομάζουσιν, οὓς αἱρεῖται ἄρχων, καὶ βασιλεύς, καὶ πολέμαρχος, δύο ἕκαστος, οὓς βούλεται. ἀλλὰ νῦν ἐπιθετικῶς λαμβάνεται, ἀντὶ τοῦ παρακαθήμενος, παραμένων, σύνθρονος. Βασιλεία δ᾽ παροξυτόνως καλεῖ τὸ Σκύδαν λέγεται ἀρχὴ ἀνυπεύθυνος, τὸ ἀξίωμα. καὶ τὸ ἔθνος βασιλευόμενον. οἷον Περσῶν, Ινδῶν, Αράβων, ἢ ἄλλων τοιούτων. βασίλεια δ᾽ προπαροξυτόνως, ἡ τοῦ βασιλέως γυνὴ, ἡ βασιλὶς, ἴδιος, ἡ βασίλισσα, καὶ κατὰ Μένανδρον βασίλιννα.

Σχόλια. Ορεξον ὦ μάκαιρα.] πρὸς τὴν βασιλείαν φησίν. εὐκαίρως δ᾽ τὴν κωμικὴν ὄρχησιν ποιεῖται. Καὶ πτερῶν ἐμῶν.] οἱ γὰρ ὄρνιθες πτεροῖς ἀντὶ χειρῶν ἐχρῶντο.

BISETVS. Αλαλαὶ ἰὴ Παιών] ὁ Σκύδας ταῦτα λέγει ἐκ χοροῦ ἐπιφώνημα. Εὐστάθιος. ἰὴ, ἐπιφώνημα λεγόμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται. ὅθεν τὸ ἰὴ παιάν. καὶ ἰὴ ἐπίρρημα ἐνθειαστικὸν ἐπιφωνούμενον τῷ Απόλλωνι, ἐν τῷ ἰὴ παιάν. καὶ ἰὴ παιάν, ἐπῳδὸς ἐπὶ τοῦ παιανικοῦ ὕμνου. Παιήων δ᾽ παρ᾽ Ομήρῳ λέγεται ἐν τῷ, Καλὸν ἀείδοντες παιήονα. Ιλ. Α. καὶ κατὰ συστολὴν Παιάων, ὁ καὶ Παιών, Παιῶνος παρὰ τοῖς μεθ᾽ Ομήρον ὕμνος εἰς Απόλλωνα, ὁ καὶ Παιὰν λεγόμενος. καὶ αὐτὸς Απόλλωνος ἐπίθετον, ὅθεν τὸ ῥῆμα παιωνίζειν, καὶ παιανίζειν, τὸ ᾄδειν παιᾶνι φοίβῳ ὕμνον παιᾶνα. ἀλαλαὶ δ᾽, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ἀντὶ τοῦ ἀλαλὴ, ἢ δασέως, ἀλαλαί. ἐπίρρημα παρακελεύσεως, καὶ χαρᾶς φωνὴν σημαῖνον. καὶ τὸ ἀλαλάζειν, ἐπινικίως ἠχεῖν, ὥς φησιν Ησύχιος. καὶ ἀλαλαγμὸς, ἐπινίκιος ὕμνος ἢ εὔφημος βοή. σημειοῦσθαι δὲ ταύτην τὴν λέξιν, ἀλαλαί, παρὰ τοῖς ἄλλοις ποιηταῖς ἐν χρήσει οὐκ οὖσαν. ἀλλὰ διὰ τί, καὶ πότε ταῦτα, ἰὴ Παιὰν,
E
εἰς τὸν Απόλλωνα ὑμνεῖσθαι ἤρξατο, Καλλίμαχος οὕτω δηλοῖ,

Ιὴ, ἰὴ Παιῆον, ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαός,
Ημος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ,
Αἰνὸς ὄφις, τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ᾽ ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστὸν, ἐπηΰτησε δ᾽ λαός
Ιὴ, ἰὴ Παιῆον, ἵει βέλος.

F Σχόλια. Τήνελλα.] τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιάς. ἀπὸ τοῦ ἐφυμνίου οὗ εἶπεν Αρχίλοχος εἰς τὸν Ηρακλέα μετὰ τὸν ἆθλον Αὐγέου,

Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ηρακλεῖς.
Αὐτός τε καὶ Ιόλαος αἰχμητὰ δύω.

δοκεῖ δ᾽ πρῶτος Αρχίλοχος ἐν Πάρῳ νικῆσαι τὸν Δήμητρος ὕμνον ἑαυτῷ τοῦτο ἐπιπεφωνηκέναι.

Αριστοφάνους κωμῳδιῶν ἑπτὰ καὶ τῶν εἰς αὐτὰς σχολίων ἀρχαίοις συντεθέντων γραμματικοῖς, ἃ δὴ ἀποσπάδην ἐν ἀντιγράφοις κείμενα διαφόροις καὶ πεφυρμένως, συνείλεκταί τι καὶ ὡς οἷόν τ᾽ ἦν ἐπιμελέστατα διώρθωται παρὰ Μάρκου Μουσούρου τοῦ Κρητός.

ΤΕΛΟΣ. FINIS.